# TEZAUR LITURGIC

## 13 IUNIE

HARALAMBOS BOUSIA

# ACATISTUL SF.IERARH TRIFILIE, EPISCOPUL LEVKOSIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΤΡΙΦΥΛΛΙΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΛΗΔΡΑΣ ΤΗΣ ΚΥΠΡΟΥ

# ΧΑΙΡΕΤΙΣΜΟΙ

**Ποίημα Δρ.Χαραλάμπους Μ. Μπούσια**

Κοντάκιον. Ήχος δ' . Τη υπερμάχω.

Φωτολαμπή της ευσεβείας υφηγήτορα, και Ιεράρχην Λήδρων όντως θεοπρόβλητον, αρετάς των εκπληρούντα του θείου Παύλου, επαινέσωμεν ως πίστεως θησαύρισμα, και υπόδειγμα λαμπρόν ημών προς μίμησιν, ανακράζοντες·

Χαίροις μάκαρ Τριφύλλιε.

Άμεπτος ποιμενάρχης, και κοσμήτωρ των Λήδρων, Τριφύλλιε φωτόλαμπε ώφθης (τρις)· στολισάμενος γαρ αρεταίς, εκομίσω θείαν ιερέ εύκλειαν, εν πόλω· όθεν άπαντες βοώμέν σοι πιστώς τοιαύτα·

Χαίρε, το σκεύος του Παρακλήτου·

χαίρε, ο τύπος αγίου βίου.

Χαίρε, ο ευθύς αγαθός και μειλίχιος·

χαίρε ο πραΰς συνετός και ηδύτατος.

Χαίρε έμψυχον ωράϊσμα, ποιμασίας αληθούς·

χαίρε τίμιον διάδημα, πολιτείας ευλαβούς.

Χαίρε, ότι καρδίας ομιχλώδεις φωτίζεις·

χαίρε ότι κακίας σκοτομήνην σκεδάζεις.

Χαίρε, ζωής τον καρπόν ο τρυγήσας·

χαίρε, τρυφής ουρανών απολαύσας.

Χαίροις μάκαρ Τριφύλλιε.

Βλέμμα το της ψυχής σου, προσηλώσας τω Κτίστη, Τριφύλλιε σοφείας ταμείον, τρυφηλήν απηρνήσω ζωήν, και πασών του βίου μεριμνών ένθεε, σαυτόν καλώς εμάκρυνας, ψελλίζων τω Χριστώ απαύστως·

Αλληλούϊα.

Γέφυρα προς λειμώνας, η μετάγουσα θείους, της ποίμνης σου Τριφύλλιε ώφθης· τα συμφέροντα γαρ ταις ψυχαίς, εκζητείν διδάσκων θαυμαστέ πρόεδρε, των Λήδρων καθωδήγησας, προς πόλον τους βοώντας ούτω·

Χαίρε, η κλίμαξ της σωτηρίας·

χαίρε, η σάλπιγξ της αληθείας.

Χαίρε, πεπτωκότων πολλών επανορθωσις·

χαίρε, θλιβομένων η θεία ανάψυξις.

Χαίρε, ύψος κοσμιότητος και αγάπης πατρικής·

χαίρε, τείχος αρραγέστατον εν Χριστώ υπομονής.

Χαίρε, ότι υπάρχεις επισκόπων πυξίον·

χαίρε, ότι εδείχθης θαυμασίων ταμείον.

Χαίρε, ψυχών καθάρας την άρουραν·

χαίρε, πολλών εκτίλας την άκανθαν.

Χαίρε, ενθέων ποιμένων ο δείκτης·

χαίρε, Κυπρίων θερμός παραστάτης.

Χαίροις μάκαρ Τριφύλλιε.

Δύναμιν δεδεγμένος, θεϊκήν τας παγίδας, νεότητος διέφυγες Πάτερ, και Χριστώ εκολλήθης σοφώς, Ου θεράπων ώφθης ταπεινός Όσιε, Τριφύλλιε το όνομα, Αυτού δοξολογών, και κράζων·

Αλληλούϊα.

Είληφας πάσαν γνώσιν, θεϊκήν και σοφίαν, την θύραθεν Τριφύλλιε σώφρον, εν τη Κύπρω και τη Βυρηττώ, και δεινών ρητόρων ακρεμών πέφηνας· διο σε μακαρίζοντες, βοώμέν σοι τρανώς τοιαύτα·

Χαίρε, το κλέος επιστημόνων·

χαίρε, το κύδος των θεοσόφων.

Χαίρε, της παιδείας μερόπων υπέρβασις·

χαίρε, της σοφίας της άνωθεν έκφρασις.

Χαίρε, νους ο καθαρώτατος, ο χαρίτων πληρωθείς·

χαίρε, πύργος αγαθώτατος, ο εν δόξη υψωθείς.

Χαίρε, της εγκρατείας παμφαέστατος λύχνος·

χαίρε, της απαθείας περιλάλητον ύψος.

Χαίρε, βαλβίς βιώσεως σώφρονος·

χαίρε, σανίς πλεόντων σωτήριος.

Χαίρε, πιστούς προς Χριστόν ο ιθύνας·

χαίρε, εχθρού την οφρύν ο πατάξας.

Χαίροις μάκαρ Τριφύλλιε.

Ζόφωσιν αγνωσίας, ερευνών πάσαν βίβλον, απήλασας και γνώσεως θείας, ανεδείχθης δοχείον χρυσούν,

θεοφόρε· όθεν τον λαόν άπαντα, Τριφύλλιε πανένδοξε, κατέπιθες Χριστώ κραυγάζων·

Αλληλούϊα.

Ήστραψεν εν μυχίοις, της αγνής σου καρδίας, Χριστού το παμφαέστατον φάος, καθορώντος Αυτού αθλητών, ως εις γάμον δήμους ευσθενώς τρέχοντας, εις άθλησιν Τριφύλλιε, μεθ' ων σοι εκβοώμεν ταύτα·

Χαίρε, το στόμα της ευσεβείας·

χαίρε, η γλώσσα της αληθείας.

Χαίρε, αθλητών στερρόψυχων το στήριγμα·

χαίρε, νομικών ευσεβούντων το καύχημα.

Χαίρε, βάθρον προασπίσεως ευλαβών χριστιανών·

χαίρε, μάκτρον αποσμήξεως των ιχώρων αθλητών.

Χαίρε, ότι επώφθης εκλογής σκεύος θείον·

χαίρε, ότι ηυλίσθης εις Εδέμ μεθ' Αγίων.

Χαίρε, τρυφής αγήρω συμμέτοχε·

χαίρε, σκηνής Θεού θείε ένοικε.

Χαίρε, χαράς μυστικής κληρονόμος·

χαίρε λαμπάς, καταυγάζουσα σκότος.

Χαίροις μάκαρ Τριφύλλιε.

Θέλων Παύλου του θείου, Αποστόλου ταις τρίβοις, καλώς ακολουθήσαι και λόγον, σωτηρίας κηρύξαι Χριστού, εις πατρώαν νήσόν σου σοφέ, θάλασσαν διέπλευσας Τριφύλλιε, δοξάζων τον Θεόν και λέγων·

Αλληλούϊα.

Ίθυνας προς τον μέγαν, Τριμυθούντος φωστήρα, Σπυρίδωνα τας τρίβους σου Πάτερ, και αυτού μαθητής ευπειθής, χρηματίσας λύχνον της αυτού γνώσεως, εδείχθης πάντας όλβιε, φωτίζων τους αεί βοώντας·

Χαίρε, του Πνεύματος ωραιότης·

χαίρε, της χάριτος φωτοδότης.

Χαίρε, ταπεινώσεως έμπνουν θησαύρισμα·

χαίρε, εγρηγόρσεως έμψυχον άγαλμα.

Χαίρε, άστρον φαεινότατον, αγαπήσεως Θεού·

χαίρε, ρόδον ευωδέστατον, Εκκλησίας του Χριστού.

Χαίρε, ότι ποτίζεις τας διψώσας καρδίας·

χαίρε, ότι φωτίζεις εν σκοτία τους όντας.

Χαίρε, πιστοίς παρέχων τα κρείττονα·

χαίρε, λαοίς πορίζων τα πρόσφορα.

Χαίρε, λαμπρόν μαθητείας δοχείον·

χαίρε, σεπτόν αριστείας πυξίον.

Χαίροις μάκαρ Τριφύλλιε.

Κλίμακος τας βαθμίδας, αρετών αναβαίνων, Τριφύλλιε και πίστιν κηρύττων, του Χριστού διηκόνεις καλώς, Εκκλησίαν πάσαν την Αυτού Άγιε, αόκνω εργασία σου, και έκραζες φωναίς αισίαις·

Αλληλούϊα.

Λάμψας ως διακόνων, κοσμιότης παμμάκαρ, Σπυρίδωνι συνώδευσας χαίρων, εις την Νίκαιαν ένθα οφρύν, του Αρείου ούτος πρακτικοίς ρήμασιν, επάτησε Τριφύλλιε· διο σοι νυν βοώμεν ταύτα·

Χαίρε, η κέραμος αληθείας·

χαίρε, ο κάλαμος της σοφίας.

Χαίρε, του Σπυρίδωνος θείος διάκονος·

χαίρε, της κακότητος πέλυξ αμφίστομος.

Χαίρε, ότι καταβέβληκας του Βελίαρ την ισχύν·

χαίρε, ότι χάριν είληφας ουρανόθεν δαψιλή.

Χαίρε, ο υπηρέτης της Χριστού βασιλείας·

χαίρε, ο ποδηγέτης προς νομάς σωτηρίας.

Χαίρε, εικών Αγγέλων, φωτόλαμπρος·

χαίρε χιτών, πτωχών θεοΰφαντος.

Χαίρε, φωτός του αστέκτου ο φάρος·

χαίρε Χριστού, ιερός μυστηπόλος.

Χαίροις μάκαρ Τριφύλλιε.

Μόχθους σους νυχθημέρους, και σον άμεμπτον βίον, ιδούσα Λευκωσίας η ποίμνη, Τριμυθούντος παρά του σοφού επισκόπου άμεμπτε, αυτής νόμιμον, απήτησε εκλέξαι σε, ποιμένα και πιστώς εβόα·

Αλληλούϊα.

Νέκταρ κιρνών σοφίας, και αγάπης προς πάντας, καθήδυνες ως Λήδρων προϊστωρ, τας ψυχάς του ποιμνίου του σου, επισκόπων όλβιε τιμαλφές Όσιε, Τριφύλλιε και έπιθες, αυτό σοι φωνασκείν τοιαύτα·

Χαίρε, λυτήριον της πενίας·

χαίρε, κυάθιον συμπαθείας.

Χαίρε, μελισσώνος Χριστού προϊστάμενος·
χαίρε, αμπελώνος Αυτού, φύλαξ άγρυπνος.
Χαίρε, μέλι το σωτήριον, ταις ψυχαίς ο χορηγών·
χαίρε, στέφη αφθαρτότητος, δούναι πάσιν ο ποθών.
Χαίρε, θείος εργάτης του αγρού του Κυρίου·
χαίρε, δωρεοδότης χριστωνύμου ποιμνίου.
Χαίρε, κρατήρ Χριστού αγαπήσεως·
χαίρε, πρηστήρ της πλάνου φαυλότητος.
Χαίρε, στολή εγρήγορου καρδίας·
χαίρε, στοργή ουρανόσδοτος Λήδρων.

Χαίροις μάκαρ Τριφύλλιε.

Ξένος ων ραθυμίας, σου την ποίμνην ξενίζεις, Τριφύλλιε τη ση εποπτεία· ουρανόθεν γαρ πάντων πιστών, τους χορούς διέπεις τους ταις σαις πάντοτε, δεήσεσι προσφεύγοντας, και κράζοντας αξιοχρέως·

Αλληλούϊα.

Όλος Πνεύματος θειου, πεπλησμένος σεμνείον, ανήγειρας της Οδηγητρίας Θεοτόκου, εν ω ευλαβώς,

συν αζύγων πλήθει του Χριστού όνομα, Τριφύλλιε αείποτε, ανυμνείς· όθεν σοι βοώμεν·

Χαίρε, δομήτορ λαμπρού σεμνείου·

χαίρε, ηγήτορ λαού ενθέου.

Χαίρε, του Χριστού ο κηρύξας την κένωσιν·

χαίρε, του εχθρού ο μισήσας την έπαρσιν.

Χαίρε, όργανον γλυκύφθογγον, οικτιρμών των θεϊκών·

χαίρε, μάργαρον ατίμητον ουρανίων δωρεών.

Χαίρε, ότι σκεδάζεις κακοτρόπων την ρύμην·

χαίρε, ότι ελαύνεις του σατάν την απάτην.

Χαίρε, λιμήν πλεόντων αχείμαστος·

χαίρε, ημίν τα κρείττω δωρούμενος.

Χαίρε, σαρκός ο μαράνας το άνθος·

χαίρε, σοφώς ο πατάξας παν άνθος.

Χαίροις μάκαρ Τριφύλλιε.

Παύλου υποψελλίζων, το ρηθέν όπερ ειμί νυν χάριτι Θεού ειμι, Πάτερ εταπείνους σαυτόν και καλώς, τον

αγώνα ώσπερ αθλητής έτρεχες, εν Κύπρω τον προκείμενον, Τριφύλλιε και ανεβόας·

Αλληλούϊα.

Ρώμη ψυχής απείρω, θεοείκελε Πάτερ, ποιμαίνων την λαχούσάν σοι ποίμνην, ανεδείχθης πυρσός νοητός, δαδουχών ακτίσι βιοτής σωφρόνος, Τριφύλλιε πανάριστε, πιστούς αναβοώντας ταύτα·

Χαίρε, εκτύπωμα ποιμασίας·

χαίρε, εδραίωμα Εκκλησίας.

Χαίρε, ευρωστίας ψυχής υποτύπωσις·

χαίρε, ακηδίας ζοφώδους η νέκρωσις.

Χαίρε, σάλπιγξ η εγείρουσα τους κειμένους εν σκια·

χαίρε, μάστιξ καταστρέφουσα του εχθρού επιφοράν.

Χαίρε, ότι των Λήδρων ώφθης θείος κοσμήτωρ·

χαίρε, ότι σης ποίμνης ανεδείχθης ακέστωρ.

Χαίρε χρωστήρ, ζωής αγιότητος·

χαίρε λαμπτήρ, απείρου σεμνότητος.

Χαίρε, σαφής προς Χριστόν οδοδείκτης·

χαίρε, πραΰς καγαθός μυστολέκτης.

Χαίροις μάκαρ Τριφύλλιε.

Σκήνωμα Παρακλήτου, ασκητής θεοφόρος και θέμεθλον Χριστού Εκκλησίας, ανεδείχθης χαρίτων πηγή, και σοφίας λύχνος θαυμαστέ Άγιε Τριφύλλιε· διόπερ σε δοξάζοντες πιστώς φωνούμεν·

Αλληλούϊα.

Τείχος εμπεριστάτων, αρραγές εβοήθεις, ποτέ τοις εκ σεισμού τρυχομένοις, και ανέσκαπτες σου ταις χερσίν, ανευρείν ους τρέμουσα η γη έθαψε, Τριφύλλιε πανένδοξε· διο σοι φωνασκούμεν ταύτα·

Χαίρε, λαμπάς αρωγής χρηζόντων·

χαίρε, ολκάς σωστική πλεόντων.

Χαίρε, σεισμοπλήκτων ταχεία βοήθεια·

χαίρε, κλονουμένων στερροτατον έρεισμα.

Χαίρε, τύπος και υπόδειγμα, αρετής φωτολαμπούς·

χαίρε, στύλος αδιάσειστος, ευποιΐας ακραιφνούς.

Χαίρε, ότι καμνόντων ανεδείχθης προστάτης·

χαίρε, ότι στενόντων πέλεις συ παραστάτης.

Χαίρε, σφραγίς αγάπης της κρείττονος·

χαίρε πυξίς βιώσεως σώφρονος.

Χαίρε, φθογγή της Χριστού σωτηρίας·

χαίρε, στακτή μυστικής ευωδίας.

Χαίροις μάκαρ Τριφύλλιε.

Ύμνοις δοξολογούμεν, την σεμνήν πολιτείαν, την σην αρχιερεύ Λευκωσίας· τον αγώνα καλώς γαρ εν γη, γεραρέ τελέσας προς νομάς έδραμες, αφθίτου ωραιότητος, εν οις τω Λυτρωτή κραυγάζεις·

Αλληλούϊα.

Φωταυγές αρχιθύτα, νήσου Κύπρων Αράβων, ορδαί το σον πανίερον σκήνος, εκζητούσαι συλήσαι τροφήν, εις πυρός την φλόγα φευ! Αυτό έδωκαν· αλλ' έσωσε την κάραν σου, ο θείος Διομήδης ψάλλων·

Χαίρε, ο όρχαμος των Οσίων·

χαίρε, ο χείμαρρος των θαυμάτων.

Χαίρε, τυμβωρύχων Αράβων η σύγχυσις·

χαίρε, ευσεβούντων απάντων προάσπισις.

Χαίρε, καύχημα σεβάσμιον, Διομήδους του κλεινού·

χαίρε, στήριγμα ασάλευτον, του θεόφρονος λαού.

Χαίρε, ότι απίστων την μανίαν εκβλύνεις·
χαίρε, ότι αζύγων δήμους Κύκκου ευφραίνεις.
Χαίρε, ευχής θερμής οικητήριον·
χαίρε αυλής Θεού δένδρον εύκαρπον.
Χαίρε, εχθρών του Χριστού ευσπλαγχνία·
χαίρε, αυτών η γοργή θεραπεία.

Χαίροις μάκαρ Τριφύλλιε.

Χαίρων συν Ιεράρχαις, και Οσίων χορείαις, Τριφύλλιε εν πόλει τη άνω, μη ελλίπης Χριστόν δυσωπείν, τοις πιστοίς διδόναι κατ' εχθρών δύναμιν, και πάντας σκεύη χάριτος, δεικνύναι τους αεί βοώντας·

Αλληλούϊα.

Ψάλλειν εν κατανύξει, πολιτείας σου τρόπους, τους θείους καταξίωσον πάντας, τους προστρέχοντας ση αρωγή, και θερμόν προστάτην εν δεινοίς έχοντας, Τριφύλλιε φωτόλαμπρε, βοώντας δε φωναίς ευήχοις·
Χαίρε, τρυφής ακαίρου παρόπτα·
χαίρε, τροφής αΰλου διώκτα.

Χαίρε, ο λεπτύνας νοός την ενέργειαν·

χαίρε, ο φαιδρύνας ασκήσει την σύμπασαν.

Χαίρε, ότι ετραυμάτισας, τον αρχέκακον εχθρόν·

χαίρε, ότι κατεπάτησας, των απίστων τον εσμόν.

Χαίρε, εύχος των Λήδρων, και της Κύπρου φαιδρότης·

χαίρε, κύδος αγνείας, και σοφία ακρότης.

Χαίρε, Σταυρού ο φέρων την δύναμιν·

χαίρε, εχθρού ο λύσας την έπαρσιν.

Χαίρε, ζωής της εμής κατευθύντορ·

χαίρε, ψυχής της εμής παρακλήτορ.

Χαίροις μάκαρ Τριφύλλιε.

Ω Τριφύλλιε μάκαρ, επισκόπων Οσίων, φαιδρότης και ωράϊσμα Λήδρων (τρις)· υπέρ πάντων δυσώπει Χριστόν, των αεί τιμώντων εν φαιδροίς άσμασι, την μνήμην σου και πάντοτε, τω Κτίστη και Θεώ βοώντων·

Αλληλούϊα.

